ἀπομυλλήνῃ· τοῦτο γίνεται, ὅταν διαστροφὴ καὶ οἷον σπάσμα περὶ τὴν γένυν μετὰ παρέσεως σχῇ, μάλιστα δ' ἐκ πληγῆς.

ἀνήκεστον· ἀθεράπευτον, ἀνυπομόνητον.

ἀρβύλαι· ὑποδήματος εἶδος.

ἁνδάνει· ἀρέσκει.

ἀριθμούς· τὰ ὀνόματα οὕτω καλεῖ.

ἄκεσιν· ἰάμασιν.

ἀνάκεστον· ἀνίατον.

ἀκρόπλοα· τὰ ἐξ ἐπιπολῆς ἐμπλέοντα.

ἀφραίνοντος· ἀφρονοῦντος.

ἀεικές· αἰσχρόν. καταγέλαστον.

ἀναΐσσει· ἀνορμᾷ.

ἀείρειν· προσφέρειν.

ἀρτίως· ἀπηρτισμένως.

ἀχιλληίδες· κριθῶν εἶδος, ὧν μέμνηται καὶ Ἀριστοφάνης καὶ Σοφοκλῆς.

ἀθέρα· τὰ ἄνω τῆς κριθῆς λεπτότατα.

ἀλυκτέει· οὐκ ἠρεμεῖ.

TESTIMONIA 1 l. l. 33 t. IIII 152 L 4 l. c. 62 t. IIII 268 L 5 De uictu acut. 2 t. II 230 L 6 l. c. 1 t. II 228 L 7 l. c. 1 t. II 226 L 8 '*at ἀνάκεστον nullibi inueni*' Eustachius 9 De morbis I 14 t. VI 164 L 11 *π. διαίτ. ὀξέων* 11 t. II 316 L 12 saepe: gl. ad Hippocr. de morb. mul. II 127 t. VIII 274 L rettulit Foes not. ad l. l. p. 726 14 e. g. aphorism. I 20 t. IIII 468 L 15 De morbis III 17 t. VII 156 L — Aristoph. eq. u. 819 16 Sophocl. Scyth. fr. 504 p. 201 Nck 17 De morbis l. c. 18 De morb. mul. I 5 t. VIII 30 L

ADNOTATIO 1 Galen. p. 438 '*ἀπομυλλήνας· προβαλὼν τὰ χείλη συνημμένως.*' 2 *παραίσεως* B *ἐκπληγῇ*: C 4 cf. Erotian. fragm. XXXI Galen. p. 442 Poll. VII 86 Hesych. I 271 *ὑποδημάτων* z 5 *ἀνδάνει* (?) C 6 Foes p. 92 sq. 7 non huc facere puto Hesychium I 95: '*ἄκεσιν· ἴασιν.*' *ἀκέεσιν* ex Hippocr. uolt Eustachius 8 *.᾿νάκεστον* C 9 Galen. p. 420 *ἐξ ἐπιπολλῆς* C *ἐξ ἐπὶ πολῆς* B 15 Theophr. caus. plant. III 27. hist. pl. VIII 4 Galen. p. 446 *ἀχιλληίδες* Charterius *ἀχιλληΐδες* AC *ἀχιληΐδες* B *ἀχιλληΐδας* Foes p. 115 *κρηθῶν* B 17 Galen. p. 414 *.᾿θέρα* C *τὴν ἄνω* C *λεπτότητα* C 18 Foes s. u. *ἀλύζει* p. 33

ἄναλτον ἄλφιτον· τὸ μικρὸν καὶ ἀναυξές.

ἄρτον ἐγκρυφίαν· παρ' Ἀττικοῖς οὕτως ὀνομάζεται ὁ συντιθέμενος ἔκ τε φοινίκων λιπαρῶν καὶ ἀλεύρου καὶ ὕδατος. [(εἰκὸς δὲ λέγειν τὸν ἐν θερμοσποδιᾷ ἐγκρυβέντα ὀπτηθῆναι, ὃν τοῦρταν καλοῦσιν).

ἀνδράπαξ· βοτάνης ὄνομα.

ἀνάσσυτος· ἀνόρμητος.

ἄναυδος· ἄφωνος· αὐδὴ γὰρ ἡ φωνή.

ἄρδαλον· ῥύπον ἢ μολυσμόν. καὶ γὰρ τὸ μολῦναι ἢ ῥυπᾶναι ἀρδαλῶσαι λέγεται καὶ ἄρδαλος ἄνθρωπος ὁ μὴ καθαρῶς ζῶν. μέμνηται τῆς λέξεως καὶ Φερεκράτης ἐν Θαλάττῃ καὶ Φιλήμων ἐν Πανηγύρει.

ἀναίνονται· ἀπαρνοῦνται.

ἀγρησθῶσιν αἱ μῆτραι· τουτέστιν ἄγρας χρήζωσιν, ἀντὶ τοῦ συλλήψεως ἀπὸ τῆς ἐμμήνου καθάρσεως. οὕτω δὲ ἀκουστέον

TESTIMONIA 1 l. c. II 110 t. VIII 236 L? 2 crebro, uelut de diaeta II 42 t. VI 540 L: cf. Foes p. 96 6 l. s. II 54 t. VI 560 L 7 De morb. mul. II 124 t. VIII 268 L 9 l. l. II 151 t. VIII 326 L 10 *ἀρδαλῶσαι*: cf. de morb. mul. I 20 t. VIII 58, de nat. mul. 67 t. VII 402 L 11 Pherecr. fr. VII uol. II 1 p. 276 Mein. — Philemon Paneg. fr. II uol. IIII p. 18 M. 13 De morb. mul. II 133 t. VIII 282 L 14 lectio corrupta ap. Hippocr. l. c. II 154 t. VIII 328 L, ubi *ἀναπρησθῶσιν* scribendum esse uidit Ermerins t. II p. 748

ADNOTATIO 1 'ἄναλτον· τό τε χωρὶς ἁλῶν καὶ οὐχ ἅλμυρον' Galen. p. 430 ἄναλτον· ἄλφιτον κτλ. φ: interpunctionem corr. Eustachius 2 Psellus de gramm. u. 316 Hesych. II 10 Suidas παραττικοῖσ B 3 εἰκὸς—καλοῦσιν proscripsi: idem iussit Cobet 4 ὃν τοῦρταν καλοῦσιν iam delenda censuerat Mercurialis uar. lect. II 5 (ed. Venet. a. 1598) p. 32 τοῦρτις C τούρταν z 5 καλοῦσι A 6 ἀνδράφαξ uel ἀνδράφαξις coni. Eustachius; nil mutarim: de nominis formis cf. JGSchneider ind. script. rei rust. p. 115 Fraas synops. plant. florae class. p. 233 8 glossam om. ω 9 Hesych. I 275 ἄρδαν coni. Nauck Aristoph. Byz. fragm. p. 203 glossam ex Aristophane deriuatam esse statuens: probauit Meineke com. gr. fragm. uol. V 1 p. 27; conf. Galen. p. 442 μολύναι BC ῥυπάναι C ῥυπαν B 10 ἄρδαλος: cf. Lobeck. pathol. elem. p. 104. 245 11 Φερεκράτης corr. Meineke cur. crit. p. 41 sq. φερεκύδης φ 14 Hesych. I 32 Phau. ἀγρησθῆναι (corr. b) B μήτραι B τούτέστιν C χρήζωσιν Vulcanius χρήζουσιν φ

καὶ τὸ ὀδαξῆσθωσι. πεποίηται δὲ ἀπὸ τῶν ἀγρευομένων ζώων.

ἄλφιτα προκώνια· τὰ γινόμενα ἐκ τῶν ἀφρύκτων κριθῶν οὕτως Ἀττικοὶ καλοῦσιν.

ἀμφίδιον· τὸ πέριξ τοῦ τῆς μήτρας τραχήλου.

αἰολᾶται· πλανᾶται.

ἄγνου· λύγου. ἔστι δὲ ὄνομα φυτοῦ· ὡς καὶ Νίκανδρος ἐν Θηριακοῖς λέγων·

ἄγνου τε βρύα λευκὰ καὶ ἐμπρίοντ' ὀνόγυρον.

ἀγλαΐζηται· καλλωπίζηται. καὶ ἀγλαὸν τὸ καλόν.

ἀρικύμων· μεγαλοκύμων.

ἀχώρ· ἐξανθήματος εἶδος, καθ' ὃ συμβαίνει κολλώδη ὑγρασίαν καὶ οἷον πιτυρώδεις λεπίδας ἐπιφέρεσθαι. μάλιστα δὲ περὶ τὴν κεφαλὴν εἴωθε γίνεσθαι.

Ἀρχὴ τοῦ β

Βιούμενον· βιοῦντα.

βαιόν· τὸ ὀλίγον.

TESTIMONIA 3 l. l. II 110 t. VIII 236 L 5 l. c. I 57 p. 114 L, ubi τὸ ἀμφιδήιον cod. ϑ praebet 6 l. l. II 174 p. 356 L 7 Hippocr. locos indicat Eustachius — Nic. Ther. u. 71 11 locos congessit Foes p. 93

ADNOTATIO 3 Nauck Aristoph. Byz. fragm. p. 223 Schmidt Didym. p. 40 Galen. p. 424. 548 Phot. p. 455, 5 Poll. VI 77 Psellus de gramm. u. 482, λεξ. ἰατρ. I 238 ἀφρύκτων Vulcanius φρύκτων AC φρίκτων B 4 καλοῦσι AC 5 Galen. p. 428 Rufus p. 41 Clinch EM. p. 87, 52 ἀμφιδεῖον conicio ἀμφίδεον z τοῦ om. B τραχήλιον B 6 Galen. p. 412 Pierson ad Moer. Attic. p. 47 αἰολᾶ ς 7 ἄγνου AC 8 λέγει z 9 ἄγνου ς ἀγνῆς A ἁγνῆς B ἅγνης C λευκα** (fort. καὶ erasa) A καὶ om. B ἐμπρίοντ' ς ἐμπρίοντα AB ἐμπρύοντα C 10 ἀγλαίζεται z καλλωπίζηται B καλλώπιζηται C καλλωπίζεται Az ἀγλαΐζει· καλλωπίζει coni. Foes p. 2 conl. Hippocr. de morb. mul. II 188 L καὶ ἀγλαὸν τὸ καλόν om. z 11 aliter Galen. p. 442 12 Foes p. 116 sq. Psellus de gramm. u. 297 ὑγρασίας C 13 ἐπὶ (περὶ in marg. ab eadem manu) B παρὰ ω 16 βιώμενον φ: correxi 17 βαιοί· ὀλίγοι suasit Foes p. 118

βοθρίοις· τοῖς ἐν τοῖς ὀφθαλμοῖς κοίλοις ἕλκεσι νῦν λέγει.

βολιτά· τὰ μικρὰ βόλβια.

βρύχιον· τὸ οἱονεὶ βύθιον καὶ κατὰ βάθους κείμενον.

βήχιον· βοτάνης εἶδος, ὃ βηκίαν καὶ βήκιον καλοῦμεν.

βρυγμός· ἰδίωμα ποιοῦ ψόφου.

βλιχῶδες· οἱ δὲ γλισχρῶδες. Ἐπικλῆς μέν φησι τὸ λελιπασμένον μετὰ γλοιώδους ὑγρασίας ἀκαθάρτου. Εὐφορίων δὲ τὸ ἐκπεπιεσμένον καὶ κατάξηρον. Βακχεῖος δὲ καὶ Λυσίμαχος διὰ τοῦ π̄ γράφουσι πλιχῶδες σημᾶναι θέλοντες τὸ ἐξεπτυγμένον.

βλακεύειν· ὀλιγωρεῖν. ἀλλά γε τὸ ἐπὶ πλεῖστον διατρίβειν οὕτως εἴρηται. ἔστι γὰρ εἶδος ἰχθύος λεγομένου βλακός, ὃς ἐν τῷ συνουσιάζειν δυσαπολύτως ἔχει. οὗ μέμνηται καὶ Ἀριστοφάνης ἐν Ὄρνισι. λέγεται δὲ κατ' εὐθεῖαν πτῶσιν βλάξ. βλακεύειν δέ ἐστι τὸ μετὰ νωθρείας καὶ ὀλιγωρίας τι πράττειν, ὡς καὶ Πλάτων ἐν δ̄ πολιτείας φησί· βλακικὸν δὲ ἡμῖν τὸ πάθος, ἀντὶ τοῦ νωθρὸν καὶ ὀλίγωρον.

TESTIMONIA 1 De liquid. usu 6 t. VI 132 L 5 glossam ad librum de morb. mul. spectare arbitror 6 De uolo. cap. 19 t. III 262 L 7 Euphorion fragm. XXVI p. 78 Meineke: cf. eiusdem anal. Alex. p. 62 10 De fract. 17 t. III 478 L 12 Aristophanes au. u. 1323 14 Plato republ. IIII p. 432 d

---

ADNOTATIO 1 Galen. de ossibus 5 t. II p. 754 def. med. CCCXXXIII t. XIX p. 434 K. Paulus Aeg. III 22 Actuar. II 7 βοθρίας B ἕλκεσι B λέγεται (λέγει in marg.) B 2 non expedio βωλιτά coni. Eustachius βολβίδια Foes p. 124 3 οἱονεὶ ς οἰνεὶ A οἰονεὶ BC 4 βήχιον em. Foes p. 121 βηχία φ βήκιαν BC βηχίον Charterius καλοῦσι d 6 'βλιηχῶδες· βλιχανῶδες (coni. Schmidt, βλιχῶνες cod.)· παρὰ Ἱπποκράτει τὸ λελιπασμένον καὶ καθαρόν' Hesych. I 381 μὲν φησὶ B λελεπασμένον Schmidt 7 κατὰ Charterius γλιώδους ω Schmidt 8 πλιχῶδες d πληχῶδες φz σημάναι B σημάνει C 10 Galen. p. 448 Ruhnken Tim. p. 61 Thom. mag. p. 154 ἀλλάγε B 11 λεγομένου z λεγόμενον AB: om. C βλέννα καὶ add. ως 13 ὄρνισι BC εὐθεῖαν C βλαυξ C 14 Πλάττων C 15 δ̄ corr. Ruhnken α' AC ᾱη' B βλακικαί C γε ἡμῖν Plato πάθος e Plat. corr. Nauck Aristoph. Byz. fragm. p. 66 πλῆθος φ

ἄρμη· πᾶσα σύνοδος τραυμάτων. εἴρηται δὲ παρὰ τὸ ἡρμόσθαι.
αἰάζειν· θρηνεῖν.
ἴλθεσθαι· ὑγιάζεσθαι.
ἀγκυρομήλη· τὸ ἄγκιστρον.
ἀψόῤῥοον· τὸ εἰς τοὐπίσω ῥέον.
ἀναχελύσσεται· ....
ἀναπνεῖ· ....
ἀνδρεῖος οἶνος· ἢ ὁ εὔτονος ἢ ὁ ἀπὸ Ἄνδρου τῆς νήσου, ὡς λέσβιος ὁ ἀπὸ Λέσβου. (οὕτω καὶ ἄνδριος ὁ ἀπὸ Ἄνδρου).
ἀπορέγει· ἀποτείνει.
ἀλλόκοτον· ἐξηλλαγμένον.
ἀκάματος· ἀκοπίαστος.
ἀναψύχειν· γυμνοῦν.
ἀποτανύσας· ἐκτείνας.
ἀνάθλασις· ἔκθλιψις.
ἀπολύσιας· ἢ τὰς τῶν ἐπιδέσμων ἀνέσεις ἢ τὰς τῶν ἄρθρων ἀπολύσεις.
ἀσηρόν· ἄσης ποιητικόν.

TESTIMONIA 1 huius glossae et earum quae secuntur sedem Foes et ego frustra quaesiuimus 10 De fract. 1 t. III 412 L 11 locos Hippocr. laudauerunt Eustachius et Foes p. 31 12 De fract. 3 t. III 426 L 13 l. c. 27 t. III 508 L 14 l. c. 8 t. III 444 L 15 l. l. 10 p. 452 L 18 l. c. 22 t. III 490 L

ADNOTATIO 1 Galen. p. 442 Hesych. I 284 ἅρμη Cz Lobeck proleg. p. 231 τρημάτων Foes p. 94 δὲ καὶ B ἡρμῶσθαι Charterius 4 Galen. p. 412 Phau. 5 Galenus p. 446 ex Erotiano corrigendus ἀψοῤῥόον B .᾿ψοῤῥοον C 6. 7 duae glossae in unam conflatae sunt: seiunxi ἀναχελύσσεται editores Stephani Paris. I¦ 2 c. 626 ἀναχαλεύσεται φ ἀναχελύζεται coni. Franz 8 ex hoc loco οἴνῳ ἀνδρίῳ ap. Hippocr. de morbis II 47 restituit Littré t. VII p. 68 probante Ermerinsio t. II p. 219 ἀνδρεῖος et ἄνδριος uocabula confudit Erotianus '*sunt qui scribant* Ἄνδριος' Eustachius ὁ om. A 9 ἀνδρεῖος C οὕτω—Ἄνδρου interpolatorem sapiunt: unde uncinis saepsi 10 'ἀπορέγει· προτείνει' Galen. p. 440 11 Hesych. I 128: at Galen. p. 424 'ἀλλόκοτον· ἀσαφὲς καὶ ἄγνωστον'. ἐξηλαγμένον B 12 .᾿κάματος C ἄκαμπτος A ἀκοπίατος AB 13 Galen. ad Hippocr. l. c. 14 ἀποταννύσας C 16 ἀπολυσίας B τῶν ante ἐπιδέσμων om. BC

Ἀρχὴ τοῦ γ

Γαργαρεών· τὸ κύριον ὄνομα. τὸ ὑπὸ τὴν ὑπερῴαν νῦν λέγει. ἡ γὰρ σταφυλὴ καὶ ἡ κιονὶς καὶ ἡ ἱμὰς πάθη εἰσὶ τοῦ γαργαρεῶνος· γαργαρεὼν δὲ ὠνομάσθη παρὰ τὸν γινόμενον γαργαλισμὸν [ἐν] τῇ τραχείᾳ ἐξ αὐτοῦ ἀρτηρίᾳ.

γονίμη ἡμέρα· ἀντὶ τοῦ περιττή. ἐπειδὴ αἱ περιτταὶ ἡμέραι ὡς ἐπίπαν κρίσιμοι τυγχάνουσι καὶ γεννητικαί τινος ὠφελίμου. ὅθεν καὶ γόνιμον μῆνα τὸν περιττὸν καλοῦσι.

γονοειδές· τὸ ὅμοιον γόνῳ, τουτέστι σπέρματι· αὐτὸς γὰρ ἐν τῷ περὶ τόπων τῶν κατ' ἄνθρωπόν φησι· .... γονοειδὲς οὖν οὖρον τὸ λευκὸν καὶ παχύ. ἐὰν δὲ τονοειδὲς γράφῃ, τὸ πνεῦμα τὸ μετὰ πόνου καί τινος συντονίας ἀναπνεόμενον λέγει.

γονή· ὁτὲ μὲν τὸ σπέρμα δηλοῖ, ὁτὲ δὲ τὴν μήτραν. κεῖται ἐν πολλοῖς παρ' Ἱπποκράτει.

γλῶσσα λιγνυώδης· μέλαινα καὶ τεφρώδης. ὠνόμασται δὲ παρὰ τὴν λιγνύν, ἥτις ἐστὶ καπνώδης αἰθάλη. γίνεται δὲ τοιαύτη διὰ τὴν ὑπερβάλλουσαν φλόγωσιν. φησὶ γάρ· πελίη δὲ γεγονυῖα, ἤγουν λιγνυώδης.

γλισχρόχροα· τὰ μετά τινος κολλώδους ἐπαφῆς παρατετηρημένα τὴν χροιὰν ἐπὶ τὸ χαλεπώτερον.

TESTIMONIA 2 Epid. III 2 aegr. 6 t. III 52 L 6 l. c. saepe, ut II 6, 8 10 locus libri de locis in hom. me fugit; cf. Foes p. 141: equidem articulum ad epidemias spectare puto 13 ἐν πολλοῖς: cf. Eustach. ad h. l. 15 Epid. III 17 aegr. 12 t. III 136 L 17 uerba πελίη δὲ γεγονυῖα ap. Hippocr. non repperi 19 Epid. IIII 26. 27 t. V 170. 172 L, ubi γλισχρόχολα legitur

ADNOTATIO 2 Rufus p. 50 Clinch Aret. morb. acut. I 8 Paulus Aeg. VI 31 EM. p. 221, 38 Lobeck proleg. p. 303 post ὄνομα interpunxi λέγεται B 3 ἱμὰς C γαργαραιὼν B 5 ἐν addidi τραχεῖα B τραχέα C 6 Hesych. I 441 Reinesius uar. lect. II 8 p. 197 αἱ ἐπειδὴ B 7 γεννητικαὶ τινὸς BC 8 καλοῦσι BC 9 Hesych. I 442 τοῦτ' ἔστι C αὐτὸς Vulcanius αὐτὸ φ οὕτως z (?) ἐν φ̃ Charterius 10 τόπον B κατὰ C lacunae signum posui, ni cum Foesio Erotianum memoria lapsum esse adsumere malis 11 γοειδὲς D γονοειδὲς Charterius γράφηται z γράφω C 12 συντονίαν C 13 Hesych. I 441 Poll. II 222 ὅτε-ὅτε AB 15 Galen. p. 516 16 λιγνὴν B ἥ τίς ἐστι A 18 λιγ^υ^νώδης B 20 fortasse uerbum post χαλεπώτερον intercidit

γῆν μεταμείβειν· ἤγουν πορεύεσθαι. ἀμείβειν γὰρ τὸ ἀλλάσσειν καὶ μεταπορεύεσθαι.

γυῖον· Βακχεῖος ἐν α̅ σῶμά φησιν ἢ μέλος, οὐκ ὀρθῶς φήσας. κατὰ γὰρ τῶν μελῶν ἰδίως τέτακται, ὡς καὶ Ὅμηρος·

γυῖα δ' ἔθηκεν ἐλαφρά.

γαργαλισμοῦ· γάργαλος καὶ γαργάλη λέγεται ἐρεθισμός, ἀπὸ τῶν πασχητιωσῶν γυναικῶν εἰλημμένης τῆς λέξεως, ὡς καὶ Ἀριστοφάνης Γηρυτάδῃ καὶ Δίφιλος ἐν Δαναΐσι.

γογγυλίδας· τὰ μικρὰ κατάποτα. εἴρηται δὲ ἀπὸ τῆς κατὰ τὸ σχῆμα ὁμοιότητος.

γάλα καὶ λίπα τέγγειν· ἀντὶ τοῦ λιπαρῶς ἐμβρέχειν.

Ἀρχὴ τοῦ δ

Δυσήνιος· δυσθύμως καὶ δυσκόλως τὰς ἀνίας φερούσης.

διόπῳ· τῷ τῆς νηὸς ἐπιμελητῇ, παρὰ τὸ διοπεύειν. ἀττικὴ δὲ

TESTIMONIA 1 l. c. VI 6, 18 t. V 318 L 3 σῶμα: l. c. VI 4, 22 t. V 312 L — μέλος: passim 4 E 122 6 π. τροφῆς 26 t. VIIII 106 L indicari uolt Franz, 8 Aristoph. Gerytad. fr. XXV uol. II p. 1013 Mein. — Diphilus Dan. fr. I uol. IIII p. 386 Mein. 9 De int. affect. 40 t. VII 266 L 13 Epid. III 3 aegr. 11 t. III 134 L 14 l. c. V 74 t. V 246 L: cf. l. c. VII 36

ADNOTATIO 1 ἀλάσσειν C 3 βάκχιος C α̅ (ή) BC σῶμα φησὶν BC 4 ἰδίας C 6 Phryn. app. soph. p. 31, 25 Lobeck Phryn. p. 97 Hesych. I 416 γαργαλισμὸς Foes p. 183 conl. Hippocr. l. s. γάργαλος: cf. Lobeck. proleg. pathol. p. 8 7 πασχητιουσῶν φ: corr. Meineke ειλημμένης B 8 Γηρυτάδῃ ς γηρυγάδι φ ἐν γηρυτάδει z Δίφιλος ς διΐφιλος φz δαναΐσι D δαναοῖσι C 9 γογγυλίδας em. LDindorf thes. II c. 697 b γόγγυλίδα φz κατάποτα scripsi καταποτᾶ A καταπο(τα) B καταπότια C 11 an γάλα καὶ λίπα sanum?: fortasse γάλακτι λίπα 13 glossam non expedio: cf. Galen. p. 458 Littré ad Hippocr. l. c. δυσήνιος ς δυσκύνιος A δυσηύνιος C δυσκήνιος B φέρουσα Vulcanius Foes p. 170 Schleussner l. c. I p. 271 14 Galen. p. 458 a Foesio correctus Hesych. I 518 Harpocr. p. 98, 9 Dind. διοπῶ φ: corr. ς διοπεύειν corr. Foes p. 167 Schleussner l. l. p. 272 διοττεύειν C διοπτεύειν AB διέπειν mauolt Nauck conl. EM. p. 278, 7 Gud. p. 146, 56

ἡ λέξις, κειμένη καὶ παρὰ Ἀριστοφάνει ἐν ἀττικαῖς λέξεσι καὶ παρὰ Αἰσχύλῳ ἐν Σισύφῳ καὶ Εὐριπίδῃ ἐν Ἱππολύτῳ.

δορπηστοῦ· τοῦ τῆς ἑσπέρας καιροῦ παρὰ τὸ δόρυ παύειν. ὃ γὰρ ἡμεῖς ἄριστον καλοῦμεν, οἱ παλαιοὶ δεῖπνον ὀνομάζουσι, μεθ' ὃ δεῖ πονεῖν.

δίκραια· τὰ διῃρημένα εἰς δύο καὶ οἷον δίχηλα καὶ δικόρυφα. κεῖται κἀν τῷ περὶ τόπων.

διαρθροῦν· διατυποῦν.

διαθέσμους· διαφύσεις.

διεβλήθησαν· παρελογίσθησαν, ὡς καὶ Εὐριπίδης ἐν Ἱππολύτῳ φησίν·

τί δ' ἢν λυθεὶς με διαβάλῃς, παθεῖν σε δεῖ;

μέμνηται τῆς λέξεως καὶ ἐν Πολυείδῳ καὶ ἐν Ὀρέστῃ.

δίκαιον· ἐνθάδε μὲν εὔλογον· ἐν δὲ τῷ περὶ ἄρθρων τὸ ὅμοιον, ὅταν φῇ· ἐπειδὴ δίκαιον ἔχουσιν οἱ ἄνθρωποι τό τε ἄλλο σῶμα καὶ τὰς χεῖρας καὶ τὰ σκέλεα, παραδείγματι χρησάμενος ὑγιεῖ

TESTIMONIA 1 Aristoph. Byz. fr. XXIX p. 186 Nauck 2 Aeschyl. Sisyph. fr. 228 p. 59 Nck — Eurip. Hippolyt. fr. 450 p. 394 Nck 3 Epid. V 22 t. V 222 L 7 De locis in hom. 6 t. VI 288 L 8 cf. Eustach. h. l. Foes p. 156 9 De nat. inf. 14 t. VII 492 L ? 10 gl. ad Hippocr. l. l. 18 t. VII 532 L rettulit Heringa p. 108 — Eurip. Hippolyt. fr. 438 p. 392 Nauck: sed cf. Hiller. de Soph. Phaedra et Eurip. Hippolyt. priore in libro miscell. societ. philol. Bonn. 1864 p. 43 13 Eurip. Polyid. fr. 648 p. 443 Nck — Eurip. Orest. locum frustra quaesiui 14 ἐνθάδε quo spectet nescio — De artic. 10 t. IIII 102 L

ADNOTATIO 1 παρ' C ἀττικοῖς C 2 παρ' C σιάφῳ BC εὐριπίδει B εὐριππί C (Δ) 3 δορπηστοῦ em. Foes p. 169 δόρπης AC δόρπαχ (corr. in ης) B δόρπου z Charterius 6 δίκρανα C 7 κἀν scripsi κὴν BC κἂν A 9 διαδέσμους ex Hippocr. Heringa p. 107 10 Galen. p. 456 εὐριπίδης B εὐριππί C (Δς) 11 φησὶν C 12 δ' uiri docti δὲ φ λυθεὶς Stephanus Vulcanius λυθῇς φ ψύθη Conington ψύδει Hartung Eurip. restit. I 50 ψευδῆ Heath διαβαλεῖς BC 14 'δίκαιον· εὔλογον. ἴσον, ὅμοιον παρὰ Ἱπποκράτει' Hesych. I 513 15 ὅταν φῇ om. C ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι Hippocr. 16 σκέλεα ς Hippocr. σκέλη φ χρησάμενος corruptum: χρήσασθαι δεῖ fortasse scribendum, cum ap. Hippocr. χρέεσθαι δεῖ τῷ ὑγιεῖ legatur

πρὸς τὸ μὴ ὑγιές. ἐπὶ δὲ τοῦ ἴσου καὶ τοῦ συμφέροντος, ὅταν λέγῃ· παραπολὺ κράτιστος ἐμβολῆς ὤμοιο· δικαιότατον μὲν μοχλεύειν, ἢν μοῦνον ἐσώτερον ἔῃ [τὸ ξύλον] τῆς κεφαλῆς τοῦ βραχίονος· δικαιόταται δὲ αἱ ἀντιῤῥοπαί, ἀσφαλέες {δὲ τῷ} ὀστέῳ [τοῦ βραχίονος]. ἐπὶ δὲ μόνου τοῦ συμφέροντος ἐν τῷ περὶ ἀγμῶν φησιν· ἐχρῆν τὸν ἰητρὸν τῶν ἐκπτωσίων καὶ κατηγμάτων ὡς ἰθυτάτας τὰς κατατάσιας ποιέεσθαι. αὕτη γὰρ ἡ δικαιοτάτη φύσις. [καί]· ὥσπερ νόμος δίκαιος. ἐν δὲ τῷ περὶ ἄρθρων ἐπὶ τοῦ ἰσχυροῦ φησι· τί γὰρ δικαίη μόχλευσις οὐκ ἂν κινήσειεν; ἀντὶ τοῦ ἰσχυρά. μόνον γὰρ τὸ δίκαιον καὶ εὔλογόν ἐστι καὶ ἁπλοῦν καὶ ἰσχυρὸν καὶ συμφέρον.

διαφραδές· σαφές.

διαρόγχας· τὰς τῶν ἐπιδέσμων διαπνοὰς καὶ τὰ μεταξὺ τούτων διαστήματα. εἴρηται δὲ παρὰ τὴν ῥέγχην, ἥτις ἐστὶν εἶδος ἀναπνοῆς.

δῖνος· σκότωσις, ὡς φέρεσθαι δοκεῖν τὰ ὁρώμενα. ἔστι δὲ καὶ

TESTIMONIA 2 l. l. 7 t. IIII 90 sq. L 5 De fract. 1 t. III 412 L 8 l. c. 7 t. III 442 L — De artic. 7 t. IIII 92 L 13 l. c. 35 t. IIII 158 L 16 De uoln. cap. 11 t. III 220 L

ADNOTATIO 2 παρὰ πολὺ B ὤμοιο Cobet ὁμοίου φ δικαιότατα μὲν γὰρ μοχλεύει Hippocr. 3 ἐσωτέρω Hippocr. ἔῃ τὸ ξύλον τῆς κεφαλῆς ex Hippocr. scripsi τὸ ξύλον om. φ τῆς κεφαλῆς ἢ (ἣ C) φ 4 δικαιότατον δὲ δι' ἀντιρροπίην (ης C) ἀσφαλείης ὀστέου φ: ex Hippocr. correxi 6 φησὶν φ: correxi ἰατρὸν B ἐκπτωσίων τε καὶ libri Hippocr. κτημάτων BC 7 ἰθύτατα AB ποιέεσθαι ex Hippocr. scripsi ποιεῖσθαι φ δικαιωτάτη C 8 καὶ addidi auctore Foesio p. 165 uerbis νόμος δίκαιος alius locus Hippocr. ab Erotiano citatus indicatur: cf. testim. 8 9 ἰσχυροῦ scripsi ἰσχίου φ ὤμου suasit Foes l. c. φησὶν AC τίς τὶ φ δικαίη ς δίκαιον ἢ φ τί γὰρ ἂν δικαίη μόχλευσις οὐχὶ κινήσειε; Hippocr. 10 ἰσχυρὸν z εὔλογον ἐστὶ B 12 fortasse διαφραδέως· σαφῶς coni. Hippocr. de locis in hom. 2 t. VI 278 L? 13 'διαρόγχας· τὰ μεταξὺ τῶν ἐπιδέσεων διαστήματα' Hesych. I 496 Galen. comm. in Hippocr. de artic. 2 uol. XVIII A p. 466 K. διαρόγχας Vulcanius Hemsterhuis διαροχάς φ ἐπιδέσεων Schmidt
ἀ ἀ
τ—μεταξὺ (τ corr. ex με) B 14 ῥέσχην B ῥέγχιν C 16 περιφέρεσθαι Charterius

εἶδος ὀρχήσεως. καὶ ὁ σκοτόδινος δὲ ταὐτὸν σημαίνει καὶ ἡ σκοτοδινία.

διατρίβειν· ἐγχρονίζειν.

διέβασκον· διεβίβαζον.

διαμπερές· διαμπάξ.

δακρυῶδες ἕλκος· τὸ δίυγρον καὶ ἰχωροῤῥοοῦν.

δυσθεσίην· δυσαρέστησιν ἢ δυσαποκατάστασιν.

δικλίδος· δικλίδες ἰδίως λέγονται θύραι αἱ δίχα τετμημέναι, ὡς δύνασθαι μέρους τινὸς κεκλεισμένου τὸ λοιπὸν ἀνεῷχθαι.

διαφανέσι· διαπύροις.

διέρσαι· διελθεῖν.

δῆθεν· δήπουθεν.

διακναισθέν· διαφθαρέν.

δόχμιοι· πλάγιοι.

* οἶνον αὐτίτην· τὸν ἀπαράχυτον. ὡς καὶ Πολύζηλος ἐν Δημοτυνδάρεῳ φησιν·.

TESTIMONIA 1 Epid. VII 84 t. V 442 L, aphorism. IIII 17 t. IIII 506 L 2 De morbis II 4 t. VII 12 L 5 De fract. 22 t. III 492 L: indicauit Heringa p. 108 6 l. l. 25 t. III 500 L 7 l. l. 33 t. III 534 L 8 De artic. 7 t. IIII 92 L 10 l. c. 11 t. IIII 106 L 11 l. l. 11 p. 106 L 12 l. c. 14 p. 120 L: indicauit Heringa p. 109 13 De morb. mul. I 64 t. VIII 132, II 133 t. VIII 242 L 14 l. l. II 141 t. VIII 314 L 15 De morbis III 14 t. VII 136 L — Polyzelus Demotynd. fragm. II uol. II 2 p. 867 Mein.

ADNOTATIO 1 ὀρχήσεως: cf. schol. Γ 391 σκοτόδινος ς σκοτώδινος (οι) C σκοτώδιν A σκοτάδινοι B ταυτὸν B 2 σκοτοδινία ς σκοτωδινία AB σκοτωδυνία C 4 διαβάσκων· διαβιβάζων coni. Heringa p. 108 glossam referens ad Hippocr. de fract. 4 t. III 430 L 6 διακρυῶδες (δα in marg.) B ἕλκος A. ἰχωροῤῥοοῦν ς ἰχωρορρυοῦν AB ἰχωρορυοῦν C 8 δικλίδος Angli editores Stephani thes. δικλεῖδος φ δικλίδες scripsi δικλεῖδες φ λέγεται BC θύρες A θύρεσιν B 11 διέρσαι em. Heringa conl. Hippocr. l. s. c. διαιρῆσαι A διαίρησαι BC 14 δόχμιοι Foes p. 169 δόχμηοι A δόχμοι C δοχμὴ z δογμὴ B 15 Galen. p. 444 οἶνον Gadaldinus ap. Eustachium δεινὸν φ: fortasse e lectione δ' οἶνον natum αὐτίτην z αὐτίην C τὴν B Δημοτυνδαρέῳ z δημως τυνδάρεων AB δήμω τὴν δάρεων C 16 φησὶν BC

ἀμαθῶς γὰρ αὐτίτης πᾶσί τε θεοξενίης ἐγίνετο.

διαπτερώσιες· διακαθάρσεις ὤτων. χρώμεθα γὰρ πτεροῖς ἐνίοτε διακαθᾶραι τὰ ὦτα βουληθέντες, ὡς καὶ οἱ αὐληταὶ τοὺς αὐλούς.

δειματώδεος· φοβεροῦ. καὶ δεῖμα ὁ φόβος. ἀττικὴ δὲ ἡ λέξις.

δαῦκος· ἔνιοι τὴν δάφνην ἐνόμισαν, οὐκ ὀρθῶς. ἔστι γὰρ βοτάνης εἶδος.

διϊπετὴς ὁ γόνος· ἀντὶ τοῦ διαυγὴς καὶ καθαρός, ὡς καὶ Εὐριπίδης ἐν Φοίνικι λέγων·

> δμῶσιν δ' ἐμοῖσιν εἶπον ὡς ταυτηρίαις
> πυρίδες καὶ διϊπετῆ κτεῖναι.

δελφύϊ· τῇ μήτρᾳ.

δέτιδα· τὴν λαμπάδα, παρὰ τὸ δεσμεύεσθαι.

δρακόντιον· βοτάνης εἶδος. οὕτω δὲ καλεῖται καὶ ὁ τοῦ ἄρου καυλὸς παρὰ τὴν πρὸς τὸ ζῶον ὁμοιότητα.

διαρκεῦντες· βοηθοῦντες.

TESTIMONIA 4 glossam ad librum de uictu acut. 2 t. II 232 L rettulit Ermerins, Erotianum δειμώδεος pro λοιμώδεος ap. Hippocr. l. c. legisse coniciens 5 l. c. 7 t. II 274 L 7 De morb. mul. I 24 t. VIII 64 L — Eurip. Phoen. fr. 812 p. 491 Nck 11 De mul. steril. 222 t. VIII 428 L 13 De nat. mul. 32 t. VII 358 L

ADNOTATIO 1 non expedio ἐγένετο C ἀμαθῶς γὰρ αὐτίτης πᾶσι τὲ θεοξένοις ἐγένετο in Suida (?) legi adnotat Eustachius ἀπαθὴς γὰρ αὐτίτης τ' ἂν ἅπασιν ἐγένετο θεοξενίοις coni. Bothe 3 διὰ καθᾶραι C τὰ om AB 4 δειματώδεος Ermerins δειμώδεος AB εἰμώδεος C φοβερὸς B φοβερᾶς C 5 Dioscor. III 83 Aret. acut. morb. I p. 119 Plin. n. h. XXV 9, 110 δαφνὴν C 7 διιπετὴς Foes p. 464 διηπετὴς φ εὐριπίδης B εὐριπ^{Δς} C 8 Φοίνικι Vulcanius φοινίκη AB φοινί^{κ} C 9 δμωσὶ φ: corr. uiri docti ὡσταντηρίαις C ταυτηρίαις (fuit ταυτηρίδες) B διιπετῆ uiri docti διηπέτη φ ὡς καυτήρια ἐς πῦρ ἔδει καὶ [ταῦτα] δὴ διιπετῆ θεῖναι Valkenaer diatr. in Eurip. p. 274 a 10 ἐς πῦρ ἔδει διιπετῆ θεῖναί τινας Bothe εἰς πῦρ τιθῶσι καὶ διιπετῆ θενεῖν Hartung Eurip. restit. I 72 *ut apponerent panes frumentaceos et* διηπέτη *puros* z 11 Rufus Ephes. I 31 Pollux II 222 Hesych. I 473 Psellus λεξ. ἰατρ. I 239 δελφύῃ z 12 Galen. p. 454 περὶ Franz 13 Theophr. h. pl. VII 12, 2 VIIII 20, 3 Dioscor. II 196 Plin. n. h. XXIIII 16, 142

Ἀρχὴ τοῦ ε

Ἐπανέρεσθαι· ἐπερωτῆσαι.

εὐπετέστερον· ῥᾳότερον.

εὐηθέστατοι· οἱ μὴ κακοήθεις.

εἰρύεται· ἕλκεται. ὡς καὶ Ὅμηρος·

νεκρόν γ' αὖ ἐρύοντα.

ἐκχλοιούμενα· Βακχεῖος ἐν β̄ ἔνωχρα οὕτω νοήσας. πεποίηται γὰρ ἀπὸ τῆς χλόης, ἥτις ἐστὶ περιαγωγὴ φυτώδης.

ἔρειψις· πτῶσις. καὶ ἐριπεῖν τὸ καταπεσεῖν. οὕτω κεῖται καὶ τὸ ἐξήριπεν.

εἶρος· οἱ μὲν σχηματισμὸν τῆς περὶ τὸν σπλῆνα σκιῤῥώδους ὀγκώσεως εἶναι φασίν. οἱ δὲ τὴν περὶ ὅλον τὸ σῶμα κάκωσιν. οὐ καλῶς ἀμφότεροι. ἔστι γὰρ ὁ εἶρος πυρετοῦ εἶδος.

ἕρπει· ἠρέμα βαδίζει. καὶ ἑρπετὰ τὰ εἰς τὴν ἔραν βαδίζοντα, ἤγουν τὴν γῆν.

ἕλκεα περιμάδαρα· τὰ ἀνώμαλα καὶ ἄτροφα.

TESTIMONIA 2 Prognost. 2 t. II 114 L 3 l. d. 6 p. 124 L 4 l. i. 20 p. 168 L 5 gl. ad Hippocr. prorrhet. I 45 rettulit Heringa conl. coac. praenot. 51 — Δ 467 7 Prorrhet. I 131 t. V 556 L 9 De humoribus 4 t. V 480 L 16 Aphorism. VI 4 t. IIII 564 L; epid. VI 8, 2 t. V 342 L

ADNOTATIO 2 Hesych. II 135 5 *εἰρύαται* perperam ap. Hippocr.: cf. Foes p. 148 *ἕλκεται* B 6 *νεκρὸν γὰρ* Homerus *ἐρύονται* C 7 *ἐκχλοιούμενα* em. Heringa p. 139 conl. Hippocr. l. l. *ἐγχλοιούμενα* AB *ἐγχλοιούμεναι* C *ἐκχλοιοῦνται* Foes p. 196 β̄ (—α,) A *ἔνωχροι οὗτοι γίνονται* coni. Foes *οὕτως* corruptum esse uidit Stephanus: quid lateat nescio *νοῆσαι* B *ἐνόησεν* ςz 8 *περιαγωγή* an sanum? 9 Galen. comm. in Hippocr. l. c. 1 uol. XVI p. 196 sq. K. Psellus *λεξ. ἰατρ.* I 241 *ἐριπεῖν* scripsi *ἐρείπειν* φ 10 *ἐξήριπεν* scripsi *ἐξήρειπεν* φz *ἐξέριπεν* uel *ἐξέρειπεν* Stephanus 11 glossa Foesio p. 113 suspecta num *εἰλεός* scribendum? cf. Galen. def. med. CCLXXIII uol. XVIIII p. 423 K. Aret. morb. acut. II 6 *σχηματισ* (μ,) B 12 *φασὶν* ς *φησὶν* AB *φησὶ* C 13 *ἦρος* (ει) C 14 *ἠρέμα* BC *ἑρπετά*: cf. Hesych. II 195 16 cf. Foes p. 200 *ἄτυφα* BC

ἔπαφρα· τὰ διάλευκα καὶ οἷον ἀφρώδη.

ἔκρουν· τὸ πονηρόν. ἢ τὴν ἔκκρισιν.

ἐμφυδρέωνται· καθυγραίνωνται.

ἐκθύματα· ἐκζέματα, ὥς φησι Βακχεῖος, καὶ ἐκθύσεις αἱ ἐξανθήσεις.

ἐπαναιώρημα ἐπινέφελον· τὸ ἐφιστάμενον τοῖς οὔροις καὶ τοῖς διαχωρήμασι καὶ οἷον ἐπικρεμάμενον, ποικίλῳ χρώματι κεχρημένον. νεφέλας γὰρ ἰδίως καλεῖ τὰς τοιαύτας ἐφιστάσεις.

ἐλάπαξεν· ἐμάλαξεν.

ἐξέρυθρον· οἱ μὲν ἐξεδέξαντο τὸ λίαν ἐρυθρόν, οἱ δὲ τὸ ἔξω γινόμενον ἐρύθημα, ἐξ ὧν καὶ Φιλωνίδης ὁ Σικελός.

ἔμυξεν· ἐστέναξεν. μέμνηται τῆς λέξεως καὶ Μένανδρος ἐν Ἀσπίδι.

ἐλατήρια· κοινῶς τὰ τὴν κάτω κοιλίαν καθαίροντα φάρμακα.

ἐπίδυεν· ἐξεδίδου καὶ διεπήδα.

ἐτιταίνετο· ἐνεπήγνυτο.

TESTIMONIA 1 Prorrhet. I 92 t. V 534 L 2 Epid. II 1, 7 t. V 78 L 4 l. l. II 2, 16 t. V 90 L cf. l. l. III 3, 7 6 saepius ἐναιώρημα, nusquam ἐπαναιώρημα apud Hippocr. legitur 9 Epid. IIII 31 t. V 176 L 12 l. l. V 6 t. V 206 L — Menander Scut. fr. VII uol. IIII p. 92 Mein. 14 π. διαιτ. ὀξέων 1 t. II 226 L 15 Epid. V 16 t. V 214 L glossae sedem indagauit Heringa p. 112 16 l. s. V 47 p. 234 L

ADNOTATIO 2 gl. in suspicionem uocat Foes p. 192 ἔκρυσιν Charterius 3 ἐν ὑδρέωνται B, καθυγραίνωνται C 4 ἐκθύματα em. Schmidt ad Hesych. II 48 ἐκχύματα z ἔκχυμα τά φ ἐκχυμώματα de Stephani coniectura Charterius ὥς φησι B ἐκθύσεις Schmidt ἐκχύσεις φ ἐκχυμώσεις uoluit Stephanus cf. Lobeck rhemat. p. 24, 38 6 ἐπαναιώρημα· ἐπινέφελον τὰ ante me interpungebatur ἐπαναιώρημα A ἐναιώρημα Foes ἐπινέφηλον B 7 'κεχρωσμένον melius' Foes p. 208 8 νεφέλας: cf. Galen. comm. 1 in epid. 3, 1 t. XVII A p. 493 K. 11 γινόμενον — ἐστέναξεν om. C 12 cf. Greg. Cor. p. 568 ἠστέναξεν Foes p. 206 14 Greg. Cor. l. l. Galen. p. 464 Hesych. II 59 τά B 15 ἐπίδυεν em. Littré ἐπέδυεν φ ἐπήδυεν coni. Cobet ἐπέδυ uoluit Heringa cf. Lobeck. proleg. pathol. p. 125, ad rem Nic. Ther. u. 302

ἐκθήλυνσις· ἔκτηξις καὶ ἰσχνότης. Νίκανδρος δὲ ἀντὶ τῆς ἐκμαλθάξεως αὐτὴν τέθεικεν.

ἐπίθημα ἔχειν· ἀντὶ τοῦ πῶμα ἔχειν. ἰδίως γὰρ οἱ Ἀττικοὶ ἐπίθημα τὸ πῶμα καλοῦσι.

ἐκλαπήσεται· ἀντὶ τοῦ ἐκγλυφθήσεται καὶ ἐκγεννηθήσεται, ὡς καὶ Ἀριστοφάνης ἐν Γηρυτάδῃ φησί·

φήμαις οὖν ἐγὼ βροτῶν ἅπαντας ἐκλαπῆναι.

ἅπαξ εἴρηται καὶ παρ' ἡμῶν ἐξήγηται μόνων.

ἐναυλιζόμενον· ἐμμένον.

εὐπετίην· εὐχέρειαν.

ἐξαυαίνεται· ξηραίνεται.

ἐκπεπταμένα· ἐξεπτυγμένα καὶ ἐξηπλωμένα.

ἕρματα· στηρίγματα.

εὐσταλέως· περιεσταλμένως.

ἑδραίῃ· Βακχεῖος ἐν τρίτῃ ἐπιμονῇ. Ἐπικλῆς δὲ ἐγκαθισμῷ.

TESTIMONIA 1 l. l. VI 1,9 p. 270 L — Nicander gloss. fr. 134 p. 205 ed. OSchneider 3 Epid. VI 4,8 p. 308 L 5 gl. ad Hippocr. de nat. inf. 29 t. VII 530 L rettulit Cobet de arte interpretandi p. 150 6 Aristoph. Gerytad. fr. XVII uol. II 2 pag. 1011 M. 9 De nat. hom. 12 t. VI 62 L 12 De off. med. 11 t. III 306 L 14 l. c. 3 t. III 280 L 15 gl. ad Hippocr. de uoln. cap. 7 pertinere monuit Littré t. III p. 204 sq.

ADNOTATIO 1 ἐκθήλυνσις (corr. in υνσις) C ἰσχνότης B ἐκμαλάξεως C 2 τέθηκεν B 4 καλοῦσιν B 5 ἐκκγλυφθήσεται A ἐπιγλυφθήσεται C 6 Γηρυτάδῃ ς γυριτάδει φ γηριτάδει z 7 uersum corruptum exhibui ut in codd. legitur φημὶ δ' οὖν ἐγὼ βροτῶν ἅπαντ' ἂν ἐκλαπῆναι GHermann n. jen. allg. litt. zeitung 1842 p. 510 φήμ' οὖν ἐγὼ 'κ τούτου βροτοὺς ἅπαντας ἐκλ. Cobet l. c. p. 151 = uar. lect. p. 367 φήμη 'στὶν ἐξ ὠῶν βροτοὺς ἅ. ἐ. Bothe 10 εὐπετείην mauolt Foes p. 252 sed cf. LDindorf. thes. gr. III c. 2389 εὐχαρείαν B 12 ἐξεπτυγμένα Stephanus ἐξεστιγμένα φz 13 ἕρματα em. Stephanus ἔργματα φ ἑρμάσματα suasit Eustachius conl. Hippocr. de off. med. 25 15 ἑδραίῃ scripsi conl. Hippocr. l. d. ἑδραίη Littré ἑδραίως φίz ἑδρεστῶς α ἑδραιοτέρως d ἑδραῖος Foes p. 180 περὶ C ἐπιμονῇ Littré ἐπιμένῳ D ἐπίμονας Foes ἐπικλῆς C ἐγκάθισμα C ἐγκαθισμένου B ἐγκάθισμα χρόνιον καὶ ἐπίμονον conl. Littré assidue diu et constanter z.

χρονίῳ καὶ ἐπιμόνῳ. ἑκάτεροι δὲ ὡς οἶμαι ἁμαρτάνουσιν. οὐ γὰρ ἓν δηλοῖ ἡ λέξις, ἀλλ᾽ ἐνθάδε μὲν τὴν καθέδραν σημαίνει. ἔνθεν γὰρ καὶ δίεδρα λέγεται τὰ ἐφ᾽ οἷς καθήμεθα. ἐν γοῦν τῷ περὶ τῶν ἐν κεφαλῇ τραυμάτων αὐτὸς ἐξηγεῖται λέγων· διακοπὴ δὲ καὶ ἕδρη τωὐτόν ἐστι. φλᾷ δὲ οὐ μάλα. καὶ πολλάκις. ὁμοίως κἂν τῷ μοχλικῷ φησι· καταναγκάσαι δὲ τὰ ὑπερέχοντα ἐς ἕδρην πτέρνῃ ἢ θέναρι, τουτέστιν εἰς τὸν οἰκεῖον τόπον.

ἐξήριπεν· ἐξέπεσεν.

ἐξαρύεται· ἐξαντλεῖται. Βακχεῖος ἐν γ̅ ἐκθλίβεται, ἐκπιέζεται.

ἐξάστις· αἱ ἐμφερόμεναι τοῖς ἐπιδέσμοις κατὰ τὰς ἕλικας κρόκαι ἐξάστις παρ᾽ αὐτῷ καλοῦνται.

ἐκθήλυνσις· ἔκτηξις καὶ ἰσχνασία.

ἐσματτευόμενον· Βακχεῖος ἐν β̅ ἐμβάλλον ἢ ζητοῦν ἢ ἐμπίπτον, μᾶλλον δὲ ἐνερεῖδον ἂν εἴη. ἔστι δὲ ἡ λέξις ἀττικὴ καὶ διὰ (τοῦ) δύο τ γραφομένη τε καὶ ἐκφωνουμένη.

TESTIMONIA 2 *ἐνθάδε*: fortasse de offic. med. 3 t. III 282 L? 4 De uoln. cap. 11 t. III 220 L: cf. Ermerins ad h. l. I 378 6 Mochlic. 38 t. IIII 382 L 9 De off. med. 12 t. III 314 L 10 l. c. 22 p. 326 L 11 l. l. 11 p. 306 L, ubi nunc *ἐξάστιας* e codicibus editur 14 De artic. 38 t. IIII 166 L

ADNOTATIO 1 *δ᾽ ὡς* B 3 *διέδρα* φ: accentum correxi 4 *τῷ περὶ τὴν κεφαλὴν* AC *τραυμάτω* B *θραυμάτων* A *ἐξηγῆται* B 5 *γὰρ καὶ* Hippocr. *τωὐτόν* ex Hippocr. scripsi *ταυτόν* φ *φλᾷ* Hippocr. *δλα* φz *δ᾽* C *οὐ* ex Hippocr. emendaui *εὖ* φz *μάλα καὶ* ante me interpungebatur 6 *κἂν τῷ* (fuit *καί*) B *φησὶ* BC *κατ-αναγκάσαι* ς Eustachius *κατανάγκας* AB *κατανάγκης* C 7 *ἕδραν* C *πτέρνα* φ: em. ς *ἢ θέκαρι* ς *ἢ θ᾽ ἐν ἄρῃ* AC *ἢ θ᾽ ἐνάρῃ* B 9 *ἐξήρειπεν* φ: em. Foes 10 Galen. p. 466 *Βακχεῖος ἐν γ̅ ἐκθλίβεται.* ‖ *ἐξαντλεῖται· ἐκπιέζεται* φ: corr. Ermerins *ἐκθλίβεται, ἐξαντλεῖται, ἐκπιέζεται* coniunxit Foes p. 215 *ἐκπιέζεται* om. z 11 Lobeck paralip. p. 441 Galen. p. 468 *ἐμφερομέναι* BC 13 cf. Erotian. p. 68, 1 *ἐκθήλυνσις—ἰσχνασία* om. ω: add. df *ἰχνασία* B 14 *ἐσματτευόμενον* scripsi *ἐσμαβτευόμενον* A *ἐς μαβτευόμενον* B *ἐσματευόμενον* C *ἐσμαρτεβόμενον* D *ἐσμαρτευόμενον* ω *ἐμβατευόμενον* ςz *ζητοῦν* corr. Foes *ζηλοῦν* φ 16 *τοῦ* expunxi *δύο τ* scripsi: *βτ* φ

ἕδος· θρόνος ἢ δίφρος, ὡς Βακχεῖος ἐν α. εἴρηται δὲ παρὰ τὸ ἐπ' αὐτῷ ἕζεσθαι. μαρτυρεῖ δὲ Ἱπποκράτης ἐν τῷ περὶ ἄρθρων λέγων· πάνυ μὲν ἱκανῶς ἔχει καὶ περὶ μέγα ἕδος Θεσσαλικόν, ἀντὶ τοῦ περὶ δίφρον Θεσσαλικόν, πᾶς γὰρ δίφρος ἀνακλισμὸν ἔχων Θεσσαλικὸς παρὰ τοῖς παλαιοῖς λέγεται.

ἐδικραιώθη· εἰς δύο διῃρέθη.

ἐνεκρίκωσεν· ἐνέδησεν.

ἐνεφλεβοτόμησε· Βακχεῖος ἐν τρίτῃ φησίν, ὅτι διεῖλεν εἰς πλείους τόπους τὰς φλέβας καὶ οἷον ἐμέρισεν.

ἐξαμελγόμεναι· ἐκθηλαζόμεναι.

ἕλκος μυκονοειδές· οἱ μὲν τὸ κάθυγρον καὶ μυξῶδες, ἐπεὶ τοιοῦτοι οἱ μυκτῆρες.

ἐπίδοξοι· προσδόκιμοι.

ἐκπεπλιγμένον· ἐξεπτυγμένον.

ἐγγωνίῳ πήχει· ἐγγώνιος πῆχυς λέγεται, ὅταν καμφθεὶς γωνιοποιηθῇ κατὰ τὸν ἀγκῶνα.

TESTIMONIA 2 l. c. 7 t. IIII 92 L 6 Epid. II 4, 1 t. V 122 L: cf. de nat. ossium 10 t. VIIII 178 L, Heringa p. 106 7 l. s. 18 p. 194 L 8 l. m. l. p. 194 L 10 l. c. 19 p. 196 L? 13 gl. ad Hippocr. de fract. 24 t. III 494 L rettulit Foes p. 226 14 l. i. 25 t. III 498 L 15 Mochlic. 12 t. IIII 356 L: errauit Erotianus ἐγγωνίῳ, quod ad σχήματι pertinet, ad τῷ πήχει referens

---

ADNOTATIO 1 ἕδος B α̅ B 3 μὴν Hippocr.: recepit Charterius μετὰ A μετὰ B 4 δίφραν B ἐνακλισμὸν C 5 Θεσσαλικός: cf. Pollux X 47 6 Greg. Cor. p. 563 Hesych. II 16 7 Greg. Cor. l. c. Hesych. II 93 Phau. ἐνεκρίκωσεν A ἐνε...ευωσεν B ἐνεκρέκωσεν Charterius ἐνέδησεν em. Foes s. u. κρίκος p. 355 ἐνέδυσεν φ 8 Galen. p. 588 Hesych. II 96 γ̅ C 10 ἐξαθελγόμεναι coni. Foes s. u. ἀθέλγεσθαι p. 7 11 glossa non leuiter suspecta est ἕλκος B μυκώδες aut μυκτηρώδες aut μυξώδες coni. Foes p. 200 τοιοῦτον B 13 Ammon. p. 58 Lobeck Phryn. p. 132 ἐπίδοξος· προσδόκιμος ex Hippocr. coni. Foes p. 226 conl. Hesych. II 152 14 ἐκπεπλιγμένον em. Littré conl. Hippocr. l. c. ἐκπεπληγμένον φ ἐκπεπλεγμένον Stephanus adnot. in Galen. gloss. p. 162 ἐξεπτυγμένον· ἐκπεπληγμένον iussit Cobet 15 ἐγγωνίου πήχεος suasit Foes p. 175 conl. Hippocr. de off. med. 15 ἐγγώνιος z ἐγγωνος φ

εὐθυωρίαν· εὐθύτητα.
εἰσάσθω· ἀντὶ τοῦ καθισάτω.
εὐθετισάμενος· καταστείλας.
ἐθανατώθη· ἐνεκρώθη.
ἐτιταίνετο· ἀντὶ τοῦ ἔτεινεν, ὡς καὶ Ὅμηρος·
ἐτιταίνετο καμπύλα τόξα.
ἐπεσοφίσαντο· περιειργάσαντο.
ἐκχαυνοῦν· ἐξαπατᾶν καὶ μετεωρίζειν.
εὐαλθέα· εὐθεράπευτα. καὶ ἄλθεξις ἡ ἴασις καὶ ἡ θεραπεία.
ἐπίστανται· δύνανται, ὡς καὶ Ὅμηρος·
ὅστις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν.
ἐπιεικῶς· ἱκανῶς. καὶ ἐπιεικῆ τὸν ἱκανὸν οἱ Ἀττικοὶ λέγουσιν.
ἐγκύρσαι· ἐγκυράσαι.
ἐπουλωθείη· κατουλωθείη.
εὐθυλόρδη· εἰς ἰθὺ σκολιά.
ἐπιτροχώτερον· εὐφορώτερον.

TESTIMONIA 1 De fract. 42 t. III 552 L 3 l. c. 8. p. 466 L 4 l. l. 26 p. 504 L 5 *Ε* 97 7 De artic. 14 t. IIII 120 L 8 l. l. 42 p. 182 L 9 l. d. 39 p. 170 L 10 l. c. 87 p. 166 L — *Ξ* 92; *ϑ* 240 12 crebro: cf. Eustach. ad h. l. 13 *ἐγκύρσῃ* bis legitur apud Hippocr. de uet. med. 22 et de artic. 11 14 De artic. 11 t. IIII 112 L 15 l. l. 45 p. 194 L 16 l. c. 14 p. 126 L, ubi Littré *ἐπιφορώτερον* recipere non debebat

---

ADNOTATIO 1 Greg. Cor. p. 564 Phot. p. 33, 23 Foes p. 279 *εὐθυωρίαν* ς *ἰθυωρίην* Hippocr. *εὐθυωρί* φ *εὐθυωρίδα* z 2 *εἴσασθω* AC 3 *καταστρώσας* ως 4 *ἐθανατώθη* ς *ἐτανατώθη* AB .*'τανατώθη* C 5 aliter Erotianus p. 67, 16 *ἐτιταίνετο — Ὅμηρος* in marg. add. B 8 *ἐκχαύνουν* φ: corr. Foes p. 195 *ἐξαπατᾶν καὶ μετεωρίζειν* Foes *ἐξαπατῶν καὶ μετεωρίζων* φ 9 *εὐαλθέα* ς *εὐάλθα* AB .*υάλθα* C *εὔαλθα* z *ἄλθεξις*: cf. Erotian. p. 54, 17 11 *ᾗσιν* Homerus *ᾗσι* φ 12 ad *ἱκανὸν* cf. Hesych. II 153 13 *ἐγκύρσαι* om. ω: add. d *ἐγκυράσαι* suo marte epitomatorem addidisse puto *ἐντυγχάνειν* uel *ἐντυχεῖν* olim scriptum fuisse coni. Foes p. 178 14 *κατουλωθείη* ς *κατουλωμένη* φz 15 *εὐθυλόρδη* Foes p. 279 *εἰλώρδη* z *εἰλώσδη* AB *ἴλως δὴ* C *ἰθυλόρδη* uoluit Eustachius: ceterum cf. CBHase thes. Paris. IIII col. 558 16 Greg. Cor. p. 567 *ἐπιτυχώτερον* C

ἐλύτροισιν· ἔλυτρα λέγεται τὰ περιεκτικὰ τῶν σωμάτων, οἷον σκέπασματα.

ἐσμασάμενος· ἐμβαλών.

ἐπιστορέσαι· ἐπιστρῶσαι.

ἐκπαλήσαντος· ἐκπαλοῦς γενομένου.

ἐγχρίμπτουσι· πελάζουσι.

ἐπικαρσίην· πλαγίαν.

ἔμπηροι· πηρὸν λέγει Βακχεῖος τὸν χωλόν. δυνατὸν δὲ ἀκούειν πάντα τὸν περὶ τὰς φυσικὰς ἐνεργείας ἐμποδιζόμενον.

ἐσκεδασμένη· σκορπισθεῖσα.

εὐφρόνας· τὰς νύκτας.

ἐκ[κο]λάψας· ἀπολεπίσας.

ἐμυλώθη· ἀντὶ τοῦ ἐτυλώθη. μύλον γὰρ καλοῦσιν οἱ ἰατροὶ τὸν ἐν τῇ ὑστέρᾳ γινόμενον σκίῤῥον.

εὐλῶν· τῶν σκωλήκων.

ἔλαιον ὑός· τὸ ὕειον στέαρ.

ἐκτόμου· Διοκλῆς φησιν οὕτω καλεῖσθαι τὸν μέλανα ἐλλέβορον.

TESTIMONIA 1 l. l. 45 p. 190 L 3 l. l. 46 p. 198 L 4 l. c. 47 p. 204 L 6 De nat. ossium 18 t. VIIII 194 L uindice Foesio p. 179 8 De morbis I 3 t. VI 144 L 10 l. l. I 7 t. VI 152 L 11 De morb. mul. I 1 t. VIII 12 L 12 gl. certe ad librum de morbis mulierum pertinet 13 uaria lectio esse uidetur l. l. I 41 t. VIII 96 L 15 l. d. I 75 p. 166 L 16 l. c. I 65 p. 134 L 17 l. s. I 78 p. 188 L, de nat. mul. 109 t. VII 426 L

ADNOTATIO 1 Galen. p. 466 λέγονται AB 3 Erotian. fragm. XXX Hesych. II 203 5 ἐκπαλήσαντες· ἔκπαλοι γενόμενοι proposuerunt Foes p. 189 et MSchmidt ad Hesych. II 49 ἐκπαλοῦς scripsi ἐκπάλους BC ἐκπάλδυ A ceterum cf. Lobeck. rhemat. p. 149 6 ἐγχρίπτουσι B πελάζουσιν C ἐγχρίμπτουσαι· πελάζουσαι uoluit Foes conl. Hippocr. l. d. 7 gl. Herodot. p. 608 Frz πλαγίην (αν supra) B 8 cf. Foes p. 203 12 ἐκκολάψας scripsi conl. Galeno p. 462, qui eodem modo corrigendus est ἔκλαψας φ ἐκλέψας coni. Foes p. 186 Schleussner l. c. I 273 ἀπολεπίσας scripsi ἀπελέπισας φ 13 Greg. Cor. p. 565 ἐμυκώθη ap. Hippocr. legit Galen. p. 466 μύλον: cf. Moschion morb. mul. c. 135 μῦλον B 14 σκίρρον B 15 Hesych. II 225 gl. Herodot. p. 606 Frz σκωλύκων (υ in η corrigi coepta) B σκωλύκων C 17 Theophr. h. pl. VIIII 10, 4 Dioscorides IIII 151 Galen. p. 464 ἐκτέμου A φησὶν C μέλαινα B

ἐκθέωσιν· ἐκτρέχωσιν.

ἐγχρίμπτειν· ἐμπηδᾶν.

ἐκθύει· ἐξορμᾷ.

ἐπηλυγάζονται τὰ ἐπιμήνια· ἀντὶ τοῦ ἐμποδίζονται. ἠλύγη γὰρ παρ' Ἀττικοῖς ἡ σκιὰ λέγεται. καὶ Θουκυδίδης ἐν ϛ φησί· [ὅπως] τῷ κοινῷ φόβῳ τὸ σφέτερον ἐπηλυγάζωνται.

ἐσαφάσῃ τῷ δακτύλῳ· ἀντὶ τοῦ ἐφάψῃ. εἴρηται δὲ παρὰ τὸ ἐσαφᾶσθαι.

ἐκπατίως· ἐκτρόπως. καὶ [ἐκπάτιοι οἱ τὸν] ὁδὸν ἀγνοοῦντες. ἔνιοι δὲ γράφουσιν ἐκπάγλως.

ἐχῖνον καινόν· χύτραν καινήν. ἔστιν ἐχῖνος χύτρας εἶδος μεγαλοστόμου καὶ μεγάλης. μέμνηται τῆς λέξεως καὶ Εὔπολις καὶ Μένανδρος ἐν Ἐπιτρέπουσι καὶ Φιλήμων ἐν Μυρμιδόσι.

TESTIMONIA 1 l. c. 8 t. VII 322 L 3 De liquid. usu 6 t. VI 130 L 4 De morb. mul. II 156 t. VIII 330 L 5 Thucydides VI 36 7 De morb. mul. saepe, sed semper ἐσαφάσσῃς 9 gl. ad Hippocr. de morb. mul. II 171 t. VIII 352 L rettulit Koen ad Greg. Cor. p. 267 sq., ibi olim ἐκπατίως pro ἐκπάγλως lectum fuisse suspicatus 11 De nat. mul. 107 t. VII 422 L, de morb. mul. II 206 t. VIII 400 L 12 ad Eupolidis Colacem (fr. XXIII) dubitanter rettulit Meineke com. gr. uol. II 1 p. 497 13 Menander Epitrep. fr. XI uol. IIII p. 122 M. — Philemon Myrmidon. fr. uol. IIII p. 15 M.

ADNOTATIO 1 ἐκθέωσιν—ἐξορμᾷ om. C 2 Greg. Cor. p. 565 ἐγχρίπτειν B 3 Hesych. II 43 4 Hesych. II 146 ἐπιλυγάζονται Charterius ἠλύγη scripsi ἡ λύγη ACz ἡ λύγη B 5 ϛ B 6 ὅπως e Thucydide addidi σφέταιρον C ἐπηλυγάζωνται Thucydides ἐπηλυγάζονταί φ ἐπιλυγάζονται Charterius 7 ἐσαφάσῃ scripsi ἐσαφάσῃς φ ἐσαφάσσῃ z ἀφάψῃ C 8 ἐπαφᾶσθαι φ: em. z 9 Greg. Cor. p. 566 ἐκτύπως C ἐκτόπως Bast ἐκπάτιοι· ἐκτρεπόμενοι Stephanus ad Aesch. Ag. u. 49 ἐκπάτιοι οἱ τὸν suppleui ὁδὸν scripsi ὁδοῦ BC ὅδου A ὁδοὺς Charterius ἀγνοῦντες A ἔξω ὁδοῦ ὃ δὴ ἀγνοοῦντες coni. Koen ἐκτόπως ὃ δὴ ἀγνοοῦντες Bast *'fortasse παραδόξως ex Gregorio restituendum, licet ὁδοῦ alludat ad πάτος.'* Angli thes. Steph. editores δὲ del. Koen Bast 10 ἐκπλάγως C καὶ ἐκπλαγίως add. z 11 καιναν B μεγαλοστόμου μεγάλης C 13 ἐπιτρέπουσι B

ἐναγίζειν· τοῖς κατοιχομένοις ἢ τοῖς καταχθονίοις θύειν.

ἐρυμάτων· στηριγμάτων.

εἶργεν· ἐκώλυεν.

ἐξίτηλος· ἀσθενής.

Ἀρχὴ τοῦ ζ

Ζώνη· ὁ τόπος εἰς ὃν ζωννύμεθα. ἔνιοι δὲ τὴν ὀσφὺν ἐνόμισαν.

Ἀρχὴ τοῦ η

Ἥπατος ζύμωσις· οἰδηματώδης ὄγκος.

ἠπιαλώδεες πυρετοί· οἱ μετὰ φρίκης καὶ ῥίγους γινόμενοι.

ἤρκεσεν· ἐβοήθησεν.

ἡδύσμασι· τοῖς χλωροῖς καὶ ξηροῖς ἀρτύμασιν. ἀττικὴ δὲ ἡ λέξις, ὡς καὶ Ἀριστοφάνης ἐν Ἱππεῦσι καὶ Εὔπολις ἐν Εἵλωταις καὶ Μένανδρος ἐν Δαρδάνῳ. ἔνθεν καὶ στέαρ ἡδὺ λέγει ἐν β̄ γυναικείων τὸ ἠρτυμένον.

ἡμίτομος· ἐπιδέσμου ὄνομα.

TESTIMONIA 1 πρεσβευτ. t. VIIII 414 L 2 gl. ad Hippocr. de off. med. 25 adludere uoluit Foes p. 242 4 De alimento 4 t. VIIII 98 L 8 Epid. IIII 8 t. V 148 L 9 l. d. IIII 20 t. V 156 L 11 De uictu salubri 4 t. VI 76 L 12 Aristophan. eq. u. 678 — Eupolis Helot. fragm. uol. II 1 p. 484 Mein. 13 Menander Dardan. fr. II uol. IIII p. 100 Mein. — De morb. mul. II 205 t. VIII 392 L 15 De off. med. 7 t. III 292 L

ADNOTATIO 2 ἐρυμώτων (an ἐρυμάτων, incertum) A ἑρμάτων coni. Stephanus 3 .ἶργεν C 7 τοῦ ἦτα A ἀρχὴ τοῦ η om. B 8 ζύμωσις ἥπατος C 9 ἠπιαλώδεες Bz οἱ πυαλώδεες C φάκης B καὶ ὡς ἴγους B γινόμενοι. ∾ Ἀρχὴ τοῦ ἢ ∾ C 10 ἤρκσεν B ἤρησεν Az 11 Thom. mag. p. 416 Hesych. II 267 ἡδύσμασιν C ἀρτύμασι AB Εἱλώταις em. Meineke: probauit MSchmidt aus wiener hands. p. 5 ἱλωταῖς AC κλώταις B κλοπαῖς z Κόλαξιν antea proposuerat Meineke hist. crit. I p. 115 13 δαρδανώ B ὅθεν B δευτέρῳ C 15 immo ἡμίτομον: quod reponi uoluit Foes p. 262

ἥρμασται· ἥδρασται, ἐστήρικται. ἡ μεταφορὰ ἀπὸ τῶν ἑρμασμάτων τῶν τὸν ἱστὸν τῆς νεὼς διακρατούντων, οὐ φορτίου τάξιν ἐπεχόντων, ἀλλὰ τὸ στηρίζειν μόνον. ἕρμα οὖν καὶ ἕρμασμα καὶ ἕρμασις τὸ αὐτὸ δηλοῖ.

ἠγκίστρευται· ἀγκιστροειδῶς συμπέφυκεν.

ἠγκυροβόλησε· κατήντησεν. ἡ μεταφορὰ ἀπὸ τῶν καθορμιζομένων πλοίων εἴρηται.

ἡμιμοίριον· τὸ ἥμισυ τῆς δραχμῆς.

ἠρύγγη, πόλιον· βοτανῶν ὀνόματα.

ἠνάγκαζεν· ἐβιάζετο.

ἠδελφισμένα· ὡμοιωμένα.

ἡρακλείης νόσου· τῆς ἐπιληψίας διὰ τὸ ἰσχυρὸν τοῦ νοσήματος καὶ δυσκαταμάχητον, ὡς μαρτυρεῖ καὶ Ἀριστοτέλης ἐν τοῖς Κωμικοῖς. ἔνιοι δὲ φασὶ τὴν μανίαν εἰρῆσθαι, ἐπειδὴ τούτῳ τῷ πάθει μόνῳ ὁ ἥρως ἑάλω.

TESTIMONIA 1 ἡρμόσθαι tantum modo apud Hippocr. legitur: uide Eustach. h. l. Foes p. 264 3 De nat. ossium 14 t. VIIII 186 L indice Foesio not. ad l. c. p. 327, ita ut Erotianus ἐγκιστρεύεται pro ἐγκισσεύεται legerit 6 ἠγκυροβόληται ut Galenus p. 478 exhibet, non ἠγκυροβόλησε legitur de nat. ossium 18 t. VIIII 194 L 8 De ulceribus 12 t. VI 414 L 10 ἠνάγκασεν apud Hippocr. περὶ ἑπταμήνου 1 t. VII 436 L legitur 11 Epid. I 3, 11 t. II 676 L: cf. de uictu acut. 10 et 11 12 De morb. mul. I 7 t. VIII 32 L 13 Ἀριστοτέλης: uide adnot.

ADNOTATIO 1 ἥρμασται scripsi ἡρμοσται ACz ἥρμοσται B ἥδρασται scripsi ἕδρασται AB ἢ ἕδρασται C ἡρμᾶσθαι· ἑδρᾶσθαι, ἐστηρίχθαι coni. Foes p. 264 2 νεὼς C φορτίων C 5 Galen. p. 478 Pierson ad Moer. p. 214 8 cf. Phavorin. δραγμῆς B 9 ἠρύγγη: Plin. n. h. XXII 7, 18 πόλιον: Theophr. h. pl. I 10, 4 Dioscor. III 124 Plin. n. h. XXI 7, 44 ἠρυγγιπόλιον C ἠρύγγι d 11 Greg. Cor. p. 568 Ruhnken ad Tim. lex. p. 8 ὁμοιώμενα B 12 Phauorinus; at cf. Galen. comm. in epid. 6 t. XVII B p. 341 K. Aretaeus π. χρονίων παθῶν II 13 νούσου malim 14 Κωμικοῖς corruptum κωμικῶν librum partem didascaliarum fuisse existimat Wouwer polymath. XII 3; aliter Welcker d. gr. trag. p. 93. Aristotelis memoriam ad p. 953, 10 Bekker pertinere monuit Bournot philol. IIII 274 pro κωμικοῖς suadens προβλήμασιν (XXX 1) κυκλικοῖς coni. Stephanus, Σοφοκλῆς ἐν τοῖς Καμικίοις Meineke hist. crit. com. gr. p. 6 sq. δέ φασι AC

ἡμιεκτέον· τὸ ἥμισυ τοῦ ἑκτέως. ἑκτεὺς δὲ λέγεται ἀττικὸν μέτρον ἔχον χοίνικας ὀκτώ, ὥς φησι Μένανδρος ἐν Βοιωτίᾳ·

οὐκ ἔστιν ἑκτεὺς τοῦτο, μὰ τὸν Ἀσκληπιόν.

καὶ Ἀριστοφάνης·

ἑκτεὺς δέ γ' ἐστὶν ὀκταχοίνικον μέτρον.

Ἀρχὴ τοῦ Θ

Θωρῆξαι· οἰνοποτῆσαι. ἐπεὶ καὶ ἡ οἰνοποσία θώρηξις ὑπ' αὐτοῦ λέγεται καὶ μέχρι νῦν τοὺς μὴ ἐπιπλέον οἰνωμένους ἀκροθώρηκας καλοῦμεν.

θαμινά· πυκνά. κεῖται καὶ ἐν τῷ περὶ αἱμοῤῥοΐδων.

θερμωλή· ὁ πυρετός, μήποτε καὶ πᾶσα θερμασία ὑπ' αὐτοῦ θερμωλὴ λέγεται;

θαλάμαι· αἱ καταδύσεις.

θράσσει· Βακχεῖός φησι κεντεῖ, νύττει· Ἡρακλείδης ὁ Ταραντῖνος

TESTIMONIA 2 Menander Boeot. fragm. IIII uol. IIII p. 94 Mein. 4 Aristophanes fragm. inc. XCIII uol. II 2 p. 1198 M. 7 Epid. II 5, 10 t. V 130 L 10 De fistulis 7 t. VI 454 L — glossa in libro de haemorrhoidibus non reperitur cf. Eustachius et Foes. p. 266 11 De locis in hom. 27 t. VI 318 L 13 De arte 10 t. VI 18 L 14 uidetur respici de artic. 46 t. IIII 200 L, ubi libri et Galenus p. 466 ἐνθράσσει legunt

---

ADNOTATIO 1 Galen. de mensuris 5 t. XVIIII p. 755 K. Boeckh metrologie p. 200 Hultsch gr. und röm. metrologie p. 82 ἡμιεκτέον scripsi ἡμισεκτέα AB ἡμισεκτέα C ἑκτέως scripsi ἐκτέως AB ἑκταίου C ἐκτεὺς B 2 ἐξ z ὥς φησι B Βοιωτίᾳ ς βοιτία AC βοΐτία B 3 ἐκτεὺς BC τοῦτο Bentley τουτὶ φ 5 ἐκτεὺς BC δέ γ' ἐστὶν corr. Fritzsche Meineke δέ ἐστιν φ ὀκταχοίνικον conieci ἐξαχοίνικον A ἐξαχοίνικον B ἐξεχοίνικον C ὀκτὼ χοινίκων LDindorf thes. III c. 588 ἑκτεὺς τί ἐστιν; B. ἐξαχοινικὸν μέτρον coni. Nauck philol. VI 415 7 Galen. p. 484 Hesych. II 384 schol. Nic. Alexiph. 32 p. 79 ed. HKeil θωρῆξαι ς θορίξαι A θορύξαι z θοάξαι BC οἰνοπο(ξία C θόριξις φ: om ς 8 οἰνωμένα C ἀκροθώρηκας ς ἀκροθόρικας φ ἀκροθόρηκας z 11 Greg. Cor. p. 569 θερμωλή — λέγεται om. C 13 Greg. Cor. p. 570 Psellus de gramm. u. 340 λεξ. ιατρ. I 240 14 Galen. p. 482 Phot. p. 94, 6 Βακχεῖος φησὶ BC κεντεῖ e Galeno em. Nauck κινεῖ AC Phauorinus κι(α)νεῖ B

ἐρεθίζει· ἔστι δὲ ὀχλεῖ, ὡς καὶ Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει φησί·

γυναῖκα δ' ἐξελόντες, ἢ θράσσει γένυν
τε ὡς τοῦ μὲν ξωλον γραφίοις ἐνημμένοις.

θρίσσειν· μαίνεσθαι, ὡς καὶ Ἀριστοφάνης ὁ γραμματικός. θρίσσειν δὲ φασὶ τὸ κατὰ ψυχὴν ἐξίστασθαι.

θυημάτων· ἀρωμάτων.

θύνων· ὁρμῶν, ὡς καὶ Ὅμηρος·

θῦνε γὰρ ἂμ πεδίον ποταμῷ πλήθοντι ἐοικώς.

θεωρούς· θεωροὶ λέγονται οἱ εἰς θεοὺς πεμπόμενοι χρησμῶν ἐπισκέψεως χάριν.

Ἀρχὴ τοῦ ι

ἰητρίην· θεραπείαν.

ἴσχειν· συλλαμβάνειν.

ἰδίειν· ἱδροῦν.

TESTIMONIA 1 Sophocles fr. 180 p. 136 Nck 5 Aristoph. Byz. fragm. LXIX p. 216 Nck 8 E 87 10 gl. ad Thessali orationem (t. IX p. 406 L) rettulit Ermerins ad Hippocr. uol III praef. pag. ult. 13 De fract. 26 t. III 500 L 14 Epid. II 2, 18 t. V 90 L 15 De morb. mul. I 38 t. VIII 94 L: glossam ad Hippocr. de aere aquis 8 referri uoluit Heringa ἰδίει ibi pro διΐει legendum esse proponens

ADNOTATIO 1 σοφοκλῆς B ἑλένης B τε C γε νῦν omisso τε Blomfield mus. crit. Cantabrig. uol. II p. 143 4 ξωλον C αἰῶλον F

οις

ἐώλου d αἰόλον O Brunck γραβίοις Schneider ἐνημμεν C ἐνημένοις z χρώζουσ' ἕωλον γραφιδίοις ἐνημμένην coni. GHermann praef. ad Eurip. Hel. p. XIX: probauit Welcker die gr. trag. p. 122, nisi quod ἐνημμένοις seruat νόσου Μενελέων γραβίοις ἐνημμένοις Bergk ind. lect. marburg. 1843/44 p. VI, qui antea (zeitschr. f. d. alterthumswiss. 1835 p. 914) οἴστρου Μενελέων ξυρυφίοις tentauerat 6 φησι B 7 Phauorinus θήνων z 9 θύνε C θῆνε z ἀμπεδίον φ: correxi ἐοικὼς C 10 Thom. mag. p. 180; 17 Valckenaer ad Ammon. p. 92 θέους C 13 ἰη-

αν

τροίην C θεραπεῖαν B 15 Hesych. II 348. Phot. p. 101, 5 ἱδρῶν B

ἰπνοῦ· καμίνου. οἱ δὲ φανάρου· καὶ γὰρ ὁ φοῦρνος ἰπνὸς λέγεται, ὡς καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν·

εἰς τὸν ἰπνὸν εἴσω πλησίον τοὐπιστάτου.

ἱμείρομαι· ἐπιθυμῶ. ἵμερος γὰρ ἡ ἐπιθυμία, ὡς Ὅμηρος·

ὥς σεο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ.

ἰκέλη· ὁμοία.

ἰκμαλέα· τὰ δίυγρα καὶ ἱκανὴν ἔχοντα ἰκμάδα.

ἰχθύην· ......

[*ἰχθύημα*]· ῥίνημα ἢ πρίσμα.

ἱππάκη· ἵππειος τυρός.

ἶνες· οἱ μὲν τὰ νεῦρα, οἱ δὲ τὰς συνθετικὰς τούτων κοτυληδόνας.

ἰνηθμός· κάθαρσις κοιλίας.

ἰνήσεται· καθαρθήσεται. καὶ ἴνησις ἡ κάθαρσις.

ἰθαγενές· αὐθιγενές.

ἰσάτις· βοτάνης ὄνομα.

TESTIMONIA 1 Epid. IIII 20 t. V 160 L indicibus Reinesio uar. lect. I 12 p. 43 et Heringa p. 162 sq. 2 Aristoph. au. u. 437 4 Γ 446 7 De nat. inf. 24 t. VII 520 L 8 De exsectione foeti 1 t. VIII 512 L 10 De aere aquis 18 t. II 68 L 11 De carnibus 8 t. VIII 594 L? 12 De locis in hom. 17 t. VI 310 L 13 l. c. 27 p. 318 L — ἴνησις: l. d. 20 p. 312 L 14 De morbis mul. I 71 t. VIII 148 sq., de mul. steril. 233 t. VIII 446 L 15 De ulceribus 11 t. VI 410 L

ADNOTATIO 1 *ἰπνοῦ* z *ἴπνου* A *ἰπνου* BC *ἴπνος* A 2 *Ὄρνισιν* ς *αφηξιν* B *σφηγξιν* AC 3 *ἰπνὸν* A *ἔχ᾽ ἡμῖν πλησίον* φ: em. ς *τοὐπιστα* B *τοῦ πιστάτου* C 5 *ὥς σεο* Bekker *ὡς σέο* φ *νυν* C *αἱρεῖ* C 6 *ἰκέλη* BC 7 *ἰκμαλία* B *ἰκμαλαία* C 8. 9 articulos male conflatos dispescui *ἰχθύην· ῥίνημα κτλ.* φ *ἰχθύημα* coni. Foes p. 292 *ἰχθυήματα* suasit Ermerins praef. ad Hippocr. uol. III *ῥίνης δέρμα* coni. Littré 10 Theophr. h. pl. VIIII 18, 2 Dioscor. II 80 CGesner de lacte et operibus lactis p. 44 *ἱππάκην· ἵππειον τυρόν* maluit Foes p. 285 *ἵππιος* B 11 *δὲ οἱ μὲν* B *κοτυληδόνας* Stephanus 13 *ἰνήσεται* (εται e corr.) B *ἰνήσιον* z *καθαρθήσεται* (εται e corr.) B *καθαρτικόν* z (?) 14 Galen. p. 484 Greg. Cor. p. 551 Lobeck Phryn. p. 648 *αὐθιγενές* ς *αὐθηγενές* AB *αὐθογενές* C 15 Dioscorides II 215 Plinius n. h. XX 7, 59 Phauorin.

ἰσοκνήμου διεδρίου· τοῦ ἴσου καὶ ὁμαλοῦ.

